† Ἔφθασε μ(ὲν) ὁ οἰκεῖο(ς) τῇ βασιλ(είᾳ) μου Γεώργ(ιος) ὁ [Μο]νοχ(υ)τρ(ᾶς) [ἐν τῇ] τοποθεσίᾳ τῶν Παλατί(ων) τῶν κατὰ τ(ὸν) Μαίανδρ(ον) ἀνεγεῖραι | 2 ἐκ βάθρ(ων) αὐτῶν ναὸν τῇ θεομ ήτ[ορι], τ[ῇ οὕ]τω π(ως) ἐπ ι[λ]εγομ(έ)νῃ ἐγχω ρί(ως) Κεχιονισμ(έ)νῃ [κα]ὶ εἰς οἴκισ(ιν) μοναχ(ῶν) ἀποκαταστῆσαι | 3 βελτίωσ(ιν) τε ὑποστατικ(ῶν) πραγμ(ά)τ(ων) κ[αὶ α]ὐτουργί(ων) καὶ λοιπῶν κι[ν] ητῶν καὶ ἀκινήτων, ἀλλὰ δὴ καὶ παροίκ(ους) ταύτῃ |4 προσεκύρωσε πρὸ(ς) ζωὴν τῶν ἐν αὐτῇ μοναχ(ῶν) διὰ χρυ σοβούλλ(ων) καὶ ὁρισμ(ῶν) τῶν ἀοιδίμ(ων) βασιλέ(ων), τῶν γονέ(ων) τ(ῆς) | 5 βασιλ(είας) μου, ἐπιστηρίξας καὶ ἑδραιωσάμενο(ς) κατέχ(ειν) [μέν]τ(οι) ἅπαντα τὰ κατὰ δ ίκ[αιον] λόγ(ον) προσηρμοσμένα αὐτῇ καὶ νέμεσθαι | 6 ἀδιασείστ(ως) καὶ ἀνενοχλήτ(ως) καὶ ἔξω πά[σης] βλά(βης), [ἐπα]πολαύ(ειν) τε καὶ τ(οὺς) οὓς ἔχει π[αρο]ίκ(ους) πάσ(ης) ἐξκουσσεί(ας) καὶ ἀνενοχλησ(ίας)· | 7 καὶ ἦν μ(ὲν) ἡ εἰρημ(έ)νη μονὴ κατέχου[σα] καὶ νεμομ(έ)νη ταῦτα πάντα μέ(χρι) τ[οῦ νῦν ἀταρά]χ(ως) καὶ [ἀ]διασείστ(ως), κατ(ὰ) τ(ὰς) περιλή(ψεις) τ(ῶν) |8 προσόντ(ων) αὐτ(ῇ) δικαιωμ(ά)τ(ων)· εἰς δὲ [γ]ε πλείονα ἀσφάλει(αν) τ[ούτων] ἐδεήθ[η]σ(αν) οἱ ἐν αὐτῇ μοναχοὶ τυχ(εῖν) καὶ ὁρισμοῦ τ(ῆς) βα(σι)λ(είας) μου· | 9 καὶ ἡ βα(σι)λ(εία) μου, τὴν δέησ(ιν) αὐτῶν προσηκαμένη, διορίζεται διὰ τοῦ παρόντ(ος) αὐτ ῆς ὁρ[ι]σμοῦ πρὸς ἐπικύρω[σ](ιν) καὶ ἑδραίωσ(ιν) | 10 τ(ῶν) πρὸ(ς) ὄντων ταύτῃ τ(ῶν) [τε] χ[ρυσο]β[ούλλων καὶ ὁρι]σμ(ῶν) [ἀ]πολυ[θέντων] τούτ(οις), κ[ατέ]χ(ειν) [τὴν] τοιαύτην μον(ὴν) καὶ νέμεσθαι κ(α)τ(ὰ) τ(ὰς) περιλή(ψεις) τῶν πρὸ(ς) ὄντων [αὐτῇ δικαιωμάτων] ἅπαντα [τὰ] π ροσηρμο[σμέ]να ταύτῃ κινητὰ καὶ ἀκίνητα πρά|12γμ(α)τα, ὑποστα τικά τε καὶ α ὐτ[ού]ργια [...20...] τοῦ ἁγί[ου Παντε]λεήμονο(ς), τ(ῆς) Κουλούρας καὶ τὰ λοιπὰ | 13 χωράφια τὰ εἰς τὸ ν κάμ[πον] [...14...] δι ακ[εί]μενα, ἃ καὶ [πρ] οκατεῖχε μ[έχρι] τοῦ νῦν, ὡσαύ[τ](ως) δὲ καὶ τ(οὺς) |14 οὓς ἔχει παροίκ(ους) διὰ ὁρισμ(ῶν) καὶ διὰ [πρακ]τικοῦ, κατέχ(ειν) δὲ τὴν δηλωθεῖσ[αν μο]ν(ὴν) ταῦτα πάντα ἀδιασείστ(ως), ἀ νενο|15χλήτ(ως) καὶ ἀναποσπάστ(ως), ἐπ α[πο]λαύ(ειν) τ ε καὶ τ(οὺς) παροίκ(ους) αὐτ(ῆς) πάσ(ης) ἐξκουσ[σείας κα]ὶ δι ατηρεῖσθαι τούτ(ους) ἀνεπηρε άστ(ους) ἀπὸ | 16 πάντ(ων) τῶν δημοσιακ(ῶν) ζητημ(ά)των καὶ ἀπ(ὸ) πασ(ῶν) τῶν ἐπηρει(ῶν) ἀ ζημι(ους) καὶ ἀκ[αταζητ]ήτ(ους), καθὼς καὶ μέχρ(ι) τοῦ νῦν διετηροῦντο, | 17 ὀφειλόντ(ων) τῶν κατ(ὰ) καιρ(οὺς) δου(κε)κευόντ(ων) ἐ[ν τῇ τ]οιαύτῃ χώρᾳ ἀπογρα[φέ](ων) [τε καὶ ἐ]ξ[ισωτ]ῶν καὶ τῶν προνοίας ἐχ(όν)τ(ων) | 18 στρατιωτῶν ἐν τῷ αὐτῷ τόπῳ, ἀλλὰ δὴ καὶ αὐτῶν τῶν Παλατιαν(ῶν), διατη ρ[εῖν τῇ ἐμ]φαν(εί)ᾳ τοῦ παρόντο(ς) ὁρισμοῦ τῆς βα(σι)λ(είας) μου |19 ἅπαντα τὰ ἀνήκοντα τῇ τοιαύτῃ μονῇ ἀζήμια καὶ ἀβλαβῆ· [ἐπὶ τού]τῳ γ[ὰ]ρ ἐγεγόνει τῇ διαληφθείσῃ μον(ῇ) |20 εἰς ἀσφάλει(αν) μ(ὲν) αὐτ(ῆς), ἐπικύρωσ(ιν) δὲ καὶ ἑ δρ[αίω]σ(ιν) τ(ῶν) πρ[ο]σόντ[ων αὐτῇ δικαιωμάτων καὶ] ὁ παρὼν τ(ῆς) βασιλ(είας) [μου] ὁρισμὸς†

|21 μη(νὶ) Ὀκτ(ωβ)ρ(ίῳ), (ἰνδικτιῶνος) β' †